θλῖψιν καὶ θλάσιν ποιοῦσι. θλιβόμενον A μὲν οὖν, κοῖλον γίνεται· θλώμενον δὲ, ἀραιόν. τομὴ γὰρ καὶ διαίρεσίς ἐστι μαλακὴ ἡ θλάσις. κοίλου δὲ καὶ ἀραιοῦ γινομένου τοῦ μέσου, φέρεται εἰς αὐτὸ, ἐκ τῶν πέριξ ἐπιπολῆς αἷμα. κάτω τε γὰρ πέφυκε φέρεσθαι, καὶ εἰς τὰ ἀραιὰ τῷ εἴκειν αὐτά. ἀθροιζομένου δ' ἐνταῦθα εἰκότως τοῦ αἵματος, τοῦτο μὲν ἐρυθραίνεται· ἃ δὲ ἀπολείπει, λευκαίνει. ε Διὰ τί B αἱ οὐλαὶ μέλαιναι τῶν σπληνιώντων; ἢ ὅτι αἷμα διεφθαρμένον ἔχουσι, διὰ τὴν ἐκ τοῦ σπληνὸς σύμμιξιν νοσώδους αἵματος καὶ ὑδαροῦς; ἡ μὲν οὖν οὐλὴ, τὸ δέρμα λεπτὸν καὶ ἐπιπόλαιον ἔχει· τὸ δὲ αἷμα, ] διὰ τὸ ὑδαρὲς καὶ θερμὸν εἶναι μέλαν ὂν, τοιαύτην ποιεῖ τὴν οὐλὴν φαινομένην· καὶ δὴ πλεονάκις ἡ οὐλὴ ἐν τούτῳ γίνεται μελαντέρα. γίνεται δὲ διὰ ταὐτό. δι' C ἀσθένειαν γὰρ τοῦ δέρματος, καταψύχεται τὸ αἷμα, καὶ ἐξατμίζοντος τοῦ θερμοῦ, γίνεται μελάντερον. ὁμοίως δὲ καὶ τοῖς πρεσβύταις, οἵ τε χρῶτες μελάντεροι γίνονται, καὶ αἱ οὐλαὶ αἱ συγγενεῖς μελάντεραι, ἢ νέοις· οἷον ὑπώπιον γὰρ αὐτοῖς ἅπαν τὸ σῶμα, οὐ διὰ λεπτότητα τοῦ δέρματος, ἀλλ' ὅτι τὸ θερμὸν ἐκλέλοιπεν.

ϛ Πότερον ὅσα τοῦ αὐτοῦ αἴτια, τὴν αὐτὴν ἔχει δύναμιν εἰς τὸ ποιεῖν, ἢ οὔ; λέγω δὲ, D οἷον ἐπεὶ τὰ ὑπώπια καὶ ὁ χαλκὸς ἐξαίρει καὶ ἡ ῥαφανὶς, καὶ ὁ κύαμος διαμασώμενος, καὶ ὁ πνεύμων, καὶ ἡ ἄργιλος, καὶ ἕτερ' ἄττα, τῇ αὐτῇ δυνάμει. ἢ ὁ μὲν χαλκὸς, τῷ ἔχειν τὸν ἰὸν φαρμακώδη· ὁ δὲ κύαμος καὶ ὁ πνεύμων καὶ ἡ ἄργιλος, τῷ ἐπισπᾶν ἐφ' ἑαυτὰ διὰ μανότητα· ἄλλα δὲ, δι' ἑτέρας αἰτίας; ἢ τὸ μὲν ἔσχατον, ἐπὶ πάντων τῶν τοιούτων ταὐτό; E πολλὰ γὰρ καὶ ἐνδύεται τούτοις, καθάπερ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν. τὰ δὲ πρὸ τούτων, οὐδὲν κωλύει ἕτερα.

ζ Διὰ τί αἱ μὲν ἄλλαι οὐλαὶ, μέλαιναι γίνονται· αἱ δὲ ἐν τῷ ὀφθαλμῷ, λευκαί; ἢ διότι μεταβάλλουσιν ἐν ᾧ ἂν ὦσι πρὸς τὰς χροιάς; ἐν δὲ τῷ ὀφθαλμῷ μέλανι ὄντι γίνονται· ὥστε ἀνάγκη λευκὰς γίνεσθαι. F

η Διὰ τί ἀλγεινοτέρα ἡ πληγὴ τοῦ νάρθηκος, ἢ ἐνίων σκληροτέρων, ἐάν τις κατὰ λόγον σκοπῇ τύπτων; εὐλογώτερον γὰρ τὴν τοῦ σκληροτέρου εἶναι ἀλγεινοτέραν· μᾶλλον γὰρ τύπτει. ἢ ὅτι ἡ σὰρξ, ἀλγεῖ, οὐ μόνον τυπτομένη, ἀλλὰ καὶ τύπτουσα;

A gunt, collidúntque ponderis sui ratione, ac robore. Afflictum itaque medium cauum redditur, collisum autem rarum existit: collisio nanque, dissectio, & distractio leuis est. Quod cùm cauum, collisúmque reddatur, sanguis ad id summis de oris vndique fertur: nam & aptus ferri deorsum est, & laxa expeditius subit, quod ea cedunt facilius. Vbi autem sanguis eò ipse se collegit, efficitur B meritò, vt medium rubore tingatur: oræ autè, quas deseruit, albedine decolorētur.

5 Cur nigræ cicatrices hominum sunt, qui vitio lienis tenentur? An quòd sanguis eorum corruptus est, propter admistionē morbosi dilutique sanguinis qui à liene procedit? Cicatrix igitur cute prætenui, summáque consistit. Sāguis verò ille, quia vt dilutus, & calidus sit, niger est: cicatricem nigram transpectus vtique ostendit, C & quidem sæpius. Hac eadem de causa cicatrix nigrior fit: sanguis etenim cutis imbecillitate frigescit, & calore euaporante atrior redditur. Senioribus etiam pari ratione cutis magis nigrescit, & natiuę cicatrices atriores, quam iunioribus habētur: est enim quasi vibicatum corpus eorum totum, non ob aliquam cutis tenuitatem, sed quòd calor defecerit. 6 Vtrum quęcũque rei eiusdem causam obtinent, vim D habent eandem ad agendum, an nō? Verbi causa, cum vibices discuti, & ab ære, & à radicula, & à faba commanducata, & à pulmone, & ab argilla, & ab aliis huiuscemodi possint, singuláne vi eadem hoc efficiant, an diuersa? An æs ideo tollit, quoniā rubiginem præ se fert, quæ pro medicamento accipi potest? Faba verò, & pulmo, & argilla, eò quòd ad se attrahunt propter sui corporis raritatem, cæteráque prædi- E cta aliis ex causis idem faciunt. An vltimum quidem in his omnibus idem est? Quod autem antecedit, hoc discrimini fore, nihil est quod prohibeat.

7 Cur cæteræ cicatrices nigræ, oculi albæ consistunt? An quod cicatrices colorem contrahunt contrarium parti, in qua efficiuntur. At in parte oculi nigra fieri solēt: ergo albæ efficiātur necesse est.

8 Cur ictus ferulæ dolorem amplius mouet, quàm aliquod duriorum? Ita enim deprehendetur, si quis cùm verberat, ratione considerat, cùm tamen ictum durioris vehementiorem esse ratio potior exigit: acrius enim ferit, quod durius est. An quòd caro non solùm cùm percutitur, sed etiam cùm repercutit, dolet.